# ΤΑ ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΤΟΥ ΟΡΘΡΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ

*Ὅλες οἱ ἀκολουθίες τῶν ἑορτῶν τῆς Ὀρθοδόξου Ἐκκλησίας ὑπέστησαν διὰ τῶν αἰώνων ποικίλες ἐξελίξεις. Συνεχῶς ἐμπλουτίζονταν ἀπὸ νέα ὑμνογραφήματα ὑψηλῶν νοημάτων, πρὸς οἰκοδομὴ τοῦ πληρώματος τῆς Ἐκκλησίας, κατάνυξη τῆς καρδίας τῶν πιστῶν καὶ δοξολογία τοῦ Τριαδικοῦ Θεοῦ. Ἔτσι διαμορφώθηκε βαθμηδὸν ὁ κανόνας τῆς σημερινῆς τυπικῆς διάταξης τῶν ἐπιμέρους ἐκκλησιαστικῶν ἀκολουθιῶν.*

*Μὲ παρόμοιο τρόπο, ἡ ἀκολουθία τοῦ Μεγάλου Σαββάτου, ἡ ὁποία σύμφωνα μὲ νεώτερη συνήθεια ψάλλεται κατὰ τὸ ἑσπέρας τῆς Μεγάλης Παρασκευῆς, ἐτελεῖτο ἀπὸ ἀρχαιοτάτων χρόνων κατὰ τὴν πρωΐα τοῦ Μεγάλου Σαββάτου. Ὅλα τὰ ἀρχαῖα τυπικὰ ἀλλὰ καὶ τὰ ἔντυπα Τριῴδια προσδιορίζουν τὸν χρόνο τέλεσης αὐτῆς τῆς ἀκολουθίας κατὰ τὸν ὄρθρο τοῦ Μεγάλου Σαββάτου. Πότε ἀκριβῶς μετετέθη κατὰ τὸ ἑσπέρας τῆς Μεγάλης Παρασκευῆς δὲν γνωρίζουμε. Πάντως, ἡ μετάθεση αὐτὴ ἐπῆλθε σὲ νεώτερους χρόνους. Σ᾽ αὐτὸ συνετέλεσαν τὰ ἀκόλουθα· πρῶτον, ἡ κατάργηση τῆς θείας Λειτουργίας τῶν Προηγιασμένων κατὰ τὴ Μεγάλη Παρασκευή, Λειτουργία ἡ ὁποία ἐτελεῖτο (ὅπως ὁρίζει τὸ ἀρχαιότερο Τυπικὸ τῆς Μεγάλης Ἐκκλησίας) κατὰ τὸ ἑσπέρας τῆς αὐτῆς ἡμέρας· δεύτερον, ἡ μετὰ τὸν ιζ´ αἰῶνα ἐπικρατήσασα συνήθεια τῆς τέλεσης ἐκτενῶν ἑσπερινῶν ἀκολουθιῶν καθ᾽ ὅλη σχεδὸν τὴ Μεγάλη Ἑβδομάδα· τρίτον, τὰ κατόπιν ὑπεισελθόντα στὴν ἀκολουθία τοῦ Μεγάλου Σαββάτου ἐπιτάφια Μεγαλυνάρια τοῦ Ἐπιταφίου Θρήνου, τὰ ὁποῖα ἀδόκιμα καλοῦνται ἐγκώμια.*

*Ὁ χαρακτηρισμὸς αὐτῶν τῶν ἐπιταφίων ᾀσμάτων ὡς «Ἐγκωμίων τοῦ Ἐπιταφίου» ἢ «Ἐγκωμίων τοῦ Ἐπιταφίου Θρήνου» εἶναι ἄστοχος καὶ νεωτερισμὸς παρείσακτος. Ἐγκώμια στὸν Χριστὸ οὐδέποτε ἐποίησε κάποιος τῶν ποιητῶν ἢ πατέρων τῆς Ἐκκλησίας. Ἐποίησαν μὲν αὐτοὶ λόγους καὶ ὁμιλίες καὶ ὕμνους, ἀλλ᾽ ὄχι ἐγκώμια. Διότι τὸ ἐγκώμιο προσιδιάζει μόνον στοὺς ἀνθρώπους, ὄχι ὅμως καὶ στὸν Θεό. Οἱ πατέρες ἐγκωμιάζουν τὴν Θεοτόκο, τοὺς Ἀποστόλους, τοὺς ἁγίους, τοὺς δικαίους, ἀλλ᾽ ὄχι τὸν Χριστό. Τὸν Χριστὸ καὶ τὰ Πάθη αὐτοῦ "ὑμνοῦμεν", "μεγαλύνομεν", "εὐλογοῦμεν", "δοξολογοῦμεν" καὶ "προσκυνοῦμεν". Ἐπιπροσθέτως, ἔχουμε ἱκανὲς μαρτυρίες ἀπὸ χειρόγραφους κώδικες, ὅπου αὐτὰ τὰ ἁρμόδια γιὰ τὴν ταφὴ τοῦ Κυρίου ᾄσματα χαρακτηρίζονται «Μεγαλυνάρια» καὶ ὄχι «Ἐγκώμια». Καὶ τοῦτο ὀρθῶς καὶ κατ᾽ ἀκριβολογία, διότι τὰ ἐν λόγῳ μεγαλυνάρια δὲν ἄρχονται (ὅπως συμβαίνει στὴ σύγχρονη λειτουργικὴ πράξη) ἀπὸ τοῦ «Ἡ ζωὴ ἐν τάφῳ...», ἀλλὰ ἀπὸ τῶν ἀκόλουθων ποιητικῶν στίχων:*

Μεγαλύνομέν σε, ζωοδότα Χριστέ,
καὶ τιμῶμέν σου τὰ Πάθη τὰ τίμια...
Μεγαλύνομέν σε, ζωοδότα Χριστέ,
δι᾽ ἡμᾶς τὸν χθὲς σφαγὴν ὑπομείναντα...
Μεγαλύνομέν σε τὸν Σωτῆρα Χριστόν,
ὅτι πάντα μακροθύμως ὑπέμεινας...

*Ἀπὸ τὸν παραπάνω ἀρχικὸ ρηματικὸ τύπο («Μεγαλύνομεν») τὰ ᾄσματα αὐτὰ χαρακτηρίστηκαν «Μεγαλυνάρια», κατὰ τὴν τακτικὴ εἰδολογικῆς διάκρισης ποὺ ἐφαρμόζεται στοὺς περισσότερους ὕμνους τῆς Ἐκκλησίας. Ποιὰ ὅμως εἶναι ἡ θέση τῶν μεγαλυναρίων στὴν ἱερὴ δραματικὴ παράσταση, τὴ συνήθως καλουμένη «ἀκολουθία»; Διότι ἡ καθ᾽ ἡμέρα τελουμένη στὴν Ἐκκλησία ἀκολουθία εἶναι δρᾶμα διηρημένο σὲ δύο μεγάλα μέρη: τὸν ἑσπερινὸ καὶ τὸν ὄρθρο (πρῶτο μέρος) καὶ τὴ θεία καὶ ἱερὰ Λειτουργία (δεύτερο μέρος).*

*Ἡ θέση, λοιπόν, τῶν μεγαλυναρίων εὑρίσκεται στὸν ὄρθρο καὶ μάλιστα στὴν κατανυκτικώτερη στιγμή, κατὰ τὴν ὁποία ὁμιλεῖ ὁ νεκρὸς ἀπὸ τοῦ τάφου, ἀπαγγέλλων ᾠδὴ πρὸς τὸν Θεὸ καὶ ἀφηγούμενος πῶς ἔφθασε στὴν τελειότητα μέσῳ θεάρεστης βιοτῆς· πῶς ἐφύλαξε τὸν νόμον καὶ τὶς ἐντολὲς τοῦ Κυρίου, πόσα ὑπέστη ἀπὸ τοὺς ἀσεβεῖς καὶ ἀδίκους στὸν κόσμο, πῶς ἐξήγγειλε τὶς ὁδοὺς τοῦ Κυρίου καὶ ὅσα ἄλλα ἀπευθύνει πρὸς τὸν Θεό, διὰ τοῦ προφητικοῦ ψαλμοῦ τοῦ «Ἀμώμου». Δυστυχῶς, ἡ ἔξοχη αὐτὴ παράσταση ἀπεμπολήθηκε ἀπὸ τὶς ἀκολουθίες τῆς Ἐκκλησίας μας. Περισώθηκαν ὅμως κάποια σκηνικὰ λείψανα αὐτῆς, ὅπως ἐκτυλίσσονται κατὰ τὴν ἀκολουθία τοῦ ὄρθρου τοῦ Μεγάλου Σαββάτου, τὰ ὁποῖα μαρτυροῦν εὔγλωττα τὴ μεγαλοπρέπεια τῶν τελουμένων.*

*Ὅσον ἀφορᾶ τὴν ἱστορία τῆς ἐμφάνισης τῶν μεγαλυναρίων στὴν ἐκκλησιαστικὴ φιλολογία καὶ τὸν χρόνο εἰσαγωγῆς τους στὴ λειτουργικὴ πράξη τῆς Ἐκκλησίας, σημειώνονται συνοπτικὰ τὰ ἑξῆς: ἀπὸ τὴ μελέτη τῶν σχετικῶν μαρτυριῶν τῶν ἀρχαιότερων τυπικῶν τῆς Ἐκκλησίας καὶ τῶν χειρογράφων λειτουργικῶν κωδίκων, προκύπτει ὅτι τὰ στὴν ταφὴ τοῦ Κυρίου μεγαλυνάρια ἦσαν μὲν γνωστὰ στὴν Ἐκκλησία κατὰ τὸν ιβ´ αἰῶνα ἢ καὶ νωρίτερα. Δὲν γινόταν, ὅμως, κοινὴ χρήση τους στὴ λατρεία. Μόνον κατὰ τὰ τέλη τοῦ ιγ´ ἢ τὶς ἀρχὲς τοῦ ιδ´ αἰώνα ἄρχισαν νὰ καταλαμβάνουν θέση στὶς τυπικὲς διατάξεις τῶν μονῶν, στὶς ὁποῖες πρῶτα καθορίστηκαν νὰ ψάλλονται. Σταδιακά, μεταδόθηκαν ἀπὸ τὶς μονὲς τοῦ Ἁγίου Ὄρους, τοῦ Σινᾶ καὶ ἄλλων μοναστικῶν κέντρων στὶς κατὰ τόπους Ἐκκλησίες, ὅπου καὶ ἐντοπίζονται πλέον σὲ κοινὴ χρήση, ἐνῶ φυσικὰ ἐνσωματώθηκαν καὶ στὰ σχετικὰ ἔντυπα λειτουργικὰ βιβλία.*

*Ἕνας τῶν εἰσηγητῶν καὶ ποιητῶν τῶν μεγαλυναρίων εἶναι ὁ Πατριάρχης Κωνσταντινουπόλεως Γερμανὸς ὁ Α´ (715-730). Ἄλλοι γνωστοὶ ποιητὲς μεγαλυναρίων ποὺ ἀκολούθησαν τὴν τεχνοτροπία τοῦ Γερμανοῦ εἶναι ὁ Μητροπολίτης Ρόδου Νεῖλος ὁ Διασπωρινός, ὁ Νικηφόρος Κάλλιστος ὁ Ξανθόπουλος, κάποιος ἱερομόναχος Ἱλαρίων, ὁ ἁγιοταφίτης ἀρχιμανδρίτης Ἰγνάτιος κ.ἄ.*

*Τὰ μεγαλυνάρια ποὺ παρατίθενται ἐδῶ εἶναι τὰ ἐγκεκριμένα ἀπὸ τὴν Ἱερὰ Σύνοδο τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Ἑκάστη τῶν τριῶν στάσεων ἀποτελεῖται ἀπὸ 33 τροπάρια, ἐκτὸς τοῦ Δόξα-Καὶ νῦν, ὅπως αὐτὰ ταξινομήθηκαν καὶ διορθώθηκαν ἀπὸ τὸν μακαριστὸ Μητροπολίτη Κίτρους Κωνσταντῖνο καὶ τὸν ἀείμνηστο Ἐμμανουὴλ Φαρλέκα, πρωτονοτάριο τῆς Ἱερᾶς Ἀρχιεπισκοπῆς Ἀθηνῶν. Τῶν μεγαλυναρίων προτάσσονται οἱ στίχοι τοῦ «Ἀμώμου» (ψαλμὸς ριη´), ἐνῶ αὐτὰ ψάλλονται κατὰ τὴν ἀρχαία παράδοση τῆς Ἐκκλησίας στὸ πάντερπνο μέλος τοῦ πλαγίου τοῦ πρώτου ἤχου, οἱ δύο πρῶτες στάσεις, ἡ δὲ τρίτη στὸ ἱλαρὸ μέλος τοῦ τρίτου ἤχου. Εἰδικώτερα, τὸ μέλος τῆς τρίτης στάσης δὲν πρέπει νὰ μᾶς ξενίζει, διότι φτάνει σ᾽ ἐμᾶς μέσῳ τῶν χειρογράφων μουσικῶν βυζαντινῶν κωδίκων καὶ διαφοροποιεῖται ἀπὸ κάθε ἀπόπειρα νεώτερης δυτικότροπης μελικῆς ἀνάπτυξης.*

*Σημείωση:*

Ἡ *παροῦσα φυλλάδα καταρτίστηκε πρὸ τριακονταετίας, γιὰ τὶς ἀνάγκες τῆς τότε μεγαλοβδομαδιάτικης ψαλτικῆς διακονίας, κατὰ εὐτυχῆ δὲ συγκυρία κυκλοφορεῖται τώρα, μερίμνῃ τοῦ ἱερατείου τοῦ ἱεροῦ ναοῦ τοῦ ἁγίου Σπυρίδωνος πολιούχου* Πειραιῶς. Γιὰ τὴ σύνταξη τοῦ παραπάνω εἰσαγωγικοῦ σημειώματος εἶχε ληφθεῖ ὑπ᾽ ὄψιν ἡ μελέτη τοῦ Σωφρονίου Εὐστρατιάδου, «Ἡ ἀκολουθία τοῦ Μεγάλου Σαββάτου καὶ τὰ Μεγαλυνάρια τοῦ Ἐπιταφίου», *Νέα Σιών* ΛΒ´-ΛΓ´ (1937-8), σ. 16 κ.ἑ., καθὼς ἐπίσης καὶ οἱ ἐργασίες τῶν Ἰωακεὶμ Ἰβηρίτου, «Ὁ Ἐπιτάφιος Θρῆνος, τὸ δρᾶμα ἐν τῇ Ἐκκλησίᾳ», *Γρηγόριος ὁ Παλαμᾶς* Ζ´ (1923), σ. 17 κ.ἑ. & Ἐμμανουὴλ Παντελάκη, «Νέα Ἐγκώμια τοῦ Ἐπιταφίου», *Θεολογία* ΙΔ´ (1936), σ. 225 κ.ἑ. Τὰ μεγαλυνάρια ἐλήφθησαν ἀπὸ τὴ φυλλάδα *Ἡ Ἁγία καὶ Μεγάλη Ἑβδομάς*, ἔκδοση τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἔκδοσις ζ´, Ἀθῆναι 1975, σ. 338 κ.ἑ.

Ἐπιμέλεια: Ἀχιλλεὺς Γ. Χαλδαιάκης

Πληκτρολόγηση: Θεόδωρος Μαρουλάκης

# Α΄ ΣΤΑΣΙΣ

## Ἦχος Πα τριφωνῶν




Σ. Καρᾶ, *Μέθοδος τῆς Ἑλληνικῆς Μουσικῆς*, τεῦχος Α΄, Ἀθῆναι 1981, σ. 73

Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστέ,
καὶ ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,
συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Ἡ ζωὴ πῶς θνήσκεις, πῶς καὶ τάφῳ οἰκεῖς;
Τοῦ θανάτου τὸ βασίλειον λύεις δέ,
καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Μεγαλύνομέν σε, Ἰησοῦ βασιλεῦ,
καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου,
δι᾿ ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς,
Ἰησοῦ παμβασιλεῦ, τάφῳ σήμερον,
ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

Ὁ δεσπότης πάντων καθορᾶται νεκρός,
καὶ ἐν μνήματι καινῷ κατατίθεται
ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτοὺς
ὡς ἀνείδεος νεκρὸς καταφαίνεται,
ὁ τὴν φύσιν ὡραΐσας τοῦ παντός.

Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἡ ζωὴ θανάτῳ, θαῦμα! πῶς ὁμιλεῖ;
Πῶς θανάτῳ καταργεῖται ὁ θάνατος,
ἐκ θανόντος πῶς πηγάζει δὲ ζωή;

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Νοερῶν συντρέχει στρατιῶν ἡ πληθὺς
Ἰωσὴφ σὺν Νικοδήμῳ συστεῖλαί σε
τὸν ἀχώρητον ἐν μνήματι σμικρῷ.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ὁ χειρί σου πλάσας τὸν Ἀδὰμ ἐκ τῆς γῆς,
δι' αὐτὸν τῇ φύσει γέγονας ἄνθρωπος
καὶ ἐσταύρωσαι βουλήματι τῷ σῷ.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐπὶ γῆς κατῆλθες, ἵνα σώσῃς Ἀδάμ,
καὶ ἐν γῇ μὴ εὑρηκὼς τοῦτον, Δέσποτα,
μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Νεκρωθέντα πάλαι τὸν Ἀδὰμ φθονερῶς

ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου
νέος, Σῶτερ, ἐν σαρκὶ φανεὶς Ἀδάμ.

*Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.*

Ὁ κριτὴς εἰς κρίσιν ἀπαχθεὶς ὡς κριτὸς
καὶ ἐκ κρίσεως ἡμᾶς ἠλευθέρωσας,
τοὺς θνητοὺς ἀθανασίας ἀξιῶν.

*Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.*

Τὴν πλευρὰν ἐνύγης ὁ πλευρὰν εἰληφὼς
τοῦ Ἀδάμ, ἐξ ἧς τὴν Εὔαν διέπλασας
καὶ ἐξέβλησας κρουνοὺς καθαρτικούς.

*Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ.*

Ὁ ζωώσας φίλον, Ἰησοῦ μου, τὸν σόν,
τεταρταῖον ἄπνουν ὄντα τὸν Λάζαρον,
πῶς αὐτὸς τριημερεύεις ἐν νεκροῖς;

*Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.*

Ὁ νεκροὺς ἐγείρων ἐν τοῖς Σάββασι πρίν,
ἐν Σαββάτῳ πῶς αὐτὸς νῦν, ἀθάνατε,
σαββατίζεις ὡς νεκρὸς μετὰ νεκρῶν;

*Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.*

Ὡς βροτὸς μὲν θνήσκεις ἑκουσίως, Σωτήρ,
ὡς Θεὸς δὲ τοὺς θνητοὺς ἐξανέστησας
ἐκ μνημάτων καὶ βυθοῦ ἁμαρτιῶν.

*Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.*

Ἀπαθὴς ὢν φύσει τῆς Τριάδος ὁ εἷς,
τῇ βροτείᾳ παθητὸς φύσει γέγονας,
ἀπαθείας ἀξιῶν τοὺς γηγενεῖς.

*Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.*

Κἂν ἐν τάφῳ ἔδυς καὶ τῶν κόλπων, Χριστέ,
τῶν πατρώων οὐδαμῶς ἀπεφοίτησας·
τοῦτο ξένον καὶ παράδοξον ὁμοῦ!

*Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου.*

Ὡς νεκρὸς ἐν τάφῳ, ὡς Θεὸς σὺν Πατρὶ
καὶ ἐν ᾅδῃ ὡς δεσπότης τῆς κτίσεως
τοὺς δεσμίους ἀπολύεις τῆς φθορᾶς.

*Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.*

Ὑπὸ γῆν βουλήσει κατελθὼν ὡς θνητός,
ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια
τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

*Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.*

Ἐν καινῷ μνημείῳ κατετέθης, Χριστέ,
καὶ τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας,
ἀναστὰς θεοπρεπῶς ἐκ τῶν νεκρῶν.

*Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.*

Οὐρανός σοι θρόνος, ὑποπόδιον γῆ,
ὁ δὲ τάφος οὗτός τί σοι κληθήσεται;
πάντως οἶκος Ἀναστάσεως Χριστοῦ.

*Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.*

Δακρυρρόους θρήνους ἐπὶ σὲ ἡ ἁγνὴ
μητρικῶς, ὦ Ἰησοῦ, ἐπιρραίνουσα,
ἀνεβόα· Πῶς κηδεύσω σε, Υἱέ;

*Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.*

Οἴμοι φῶς τοῦ κόσμου! οἴμοι φῶς τὸ ἐμόν!

Ἰησοῦ μου ποθεινότατε, ἔκραζεν
ἡ Παρθένος θρηνῳδοῦσα γοερῶς.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.

Ὢ Θεὲ καὶ Λόγε, ὢ χαρὰ ἡ ἐμή,
πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον;
νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Τίς μοι δώσει ὕδωρ καὶ δακρύων πηγάς;
ἡ θεόνυμφος Παρθένος ἐκραύγαζεν,
ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ὢ βουνοὶ καὶ νάπαι καὶ ἀνθρώπων πληθὺς
καὶ τὰ κτίσματα θρηνήσατε ἅπαντα
σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ἡμῶν Μητρί.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ἡ ῥομφαία, φεῦ μοι, τῆς πικρᾶς σου σφαγῆς
τὴν καρδίαν μου διέρχεται, ἄναρχε,
ὢ καινότατον μυστήριον, Υἱέ.

Ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐρυθραῖς μὲν θείων σῶν αἱμάτων βαφαῖς
χθὲς ἡμῖν πταισμάτων ἔγραψας ἄφεσιν,
ἐκ δὲ τάφου νῦν βραβεύεις τὴν ζωήν.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς.

Προσκυνῶ τὸ πάθος, ἀνυμνῶ τὴν ταφήν,
μεγαλύνω σου τὸ κράτος, φιλάνθρωπε,
δι᾽ ὧν λέλυμαι παθῶν φθοροποιῶν.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Ὡς ἐμνήσθης, Σῶτερ, τοῦ ληστοῦ ἐν Σταυρῷ
καὶ ἡμῶν τῶν σὲ ὑμνούντων μνημόνευσον
ὁ δοὺς λύτρον σὴν ψυχὴν ἀντὶ πολλῶν.

Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός.

Τοὺς ἐν εὐσεβείᾳ μεταστάντας πιστοὺς
ἐν σκηναῖς δικαίων, Σῶτερ, ἀνάπαυσον,
βασιλείας σῆς αὐτοὺς καταξιῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀνυμνοῦμεν, Λόγε, σὲ τὸν πάντων Θεόν,
σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι,
καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μακαρίζομέν σε, Θεοτόκε ἁγνή,
καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον
τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

## Καὶ πάλιν· ἀργῶς καὶ μετὰ μέλους

### Ἦχος πλ. α΄ Πα






Γ. Ραιδεστηνοῦ, *Ἡ Μεγάλη Ἑβδομάς*, Κωνσταντινούπολις 1884, σσ. 312-3

Ὁ διάκονος: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ χορός: Σοί, Κύριε.
Ὁ ἱερεύς: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.

# Β΄ ΣΤΑΣΙΣ

Ἦχος Πα




Σ. Καρᾶ, *Μέθοδος τῆς Ἑλληνικῆς Μουσικῆς*, τεῦχος Α΄, Ἀθῆναι 1981, σ. 73

Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν ζωοδότην,
τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα
καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

*Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.*

Ἄξιόν ἐστι μεγαλύνειν σε τὸν πάντων κτίστην·
τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν
τὴν ἀπάθειαν, ῥυσθέντες τῆς φθορᾶς.

*Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.*

Ἔφριξεν ἡ γῆ, καὶ ὁ ἥλιος, Σῶτερ, ἐκρύβη,
σοῦ τοῦ ἀνεσπέρου φωτός, Χριστέ,
ἐν τῷ τάφῳ δύντος νῦν σωματικῶς.

*Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με.*

Ἄνω σε, Σωτήρ, ἀχωρίστως τῷ Πατρὶ συνόντα,
κάτω δὲ νεκρὸν, ἡπλωμένον γῇ,
καθορῶντα φρίττει νῦν τὰ Σεραφείμ.

*Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.*

Ῥήγνυται ναοῦ καταπέτασμα τῇ σῇ σταυρώσει,
κρύπτουσι φωστῆρες, Χριστέ, τὸ φῶς,
σοῦ κρυβέντος τοῦ ἡλίου ὑπὸ γῆν.

*Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.*

Γῆς ὁ κατ᾽ ἀρχὰς μόνῳ νεύματι πήξας τὸν γῦρον,
ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν·
τῷ θεάματι δὲ φρῖξον, οὐρανέ.

*Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμισαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.*

Θρῆνον ἱερὸν δεῦτε ᾄσωμεν Χριστῷ θανόντι,
ὡς αἱ μυροφόροι γυναῖκες πρίν,
ἵν᾽ ἀκούσωμεν τὸ χαῖρε σὺν αὐταῖς.

*Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.*

Μύρον ἀληθῶς σὺ ἀκένωτον ὑπάρχεις, Λόγε·
ὅθεν σοι καὶ μύρα προσέφερον
μυροφόροι σοι τῷ ζῶντι ὡς νεκρῷ.

*Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.*

Μύροις, ὦ Χριστέ, ὁ Νικόδημος καὶ ὁ εὐσχήμων
σὲ καινοπρεπῶς περιστείλαντες
ἀνεβόων, φρῖξον ἅπασα ἡ γῆ!

*Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.*

Ὕμνους Ἰωσὴφ καὶ Νικόδημος ἐπιταφίους
ᾄδουσι Χριστῷ νεκρωθέντι νῦν·
σὺν αὐτοῖς δὲ μελωδεῖ τὰ Σεραφείμ.

*Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.*

Ἔπτηξεν Ἀδὰμ Θεοῦ βαίνοντος ἐν Παραδείσῳ,

χαίρει δὲ πρὸς ᾅδην φοιτήσαντος,
πεπτωκὼς ποτε καὶ νῦν ἐξεγερθείς.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; Πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Τάφῳ Ἰωσὴφ εὐλαβῶς σε τῷ καινῷ συγκρύπτων,
ὕμνους ἐξοδίους θεοπρεπεῖς
μετὰ θρήνων ἀναμέλπει σοι, Σωτήρ.

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Ὄμμα τὸ γλυκὺ καὶ τὰ χείλη σου πῶς μύσω, Λόγε;
πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε;
φρίττων ἀνεβόα Ἰωσήφ.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Ἔφριξεν ἰδὼν τὸ ἀόρατον φῶς σε, Χριστέ μου,
μνήματι κρυπτόμενον ἄπνουν τε,
καὶ ἐσκότασεν ὁ ἥλιος τὸ φῶς.

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Ἥλιος φαιδρὸν ἀπαστράπτει μετὰ νύκτα, Λόγε,
καὶ σὺ δ᾽ ἀναστὰς ἐξαστράψειας
μετὰ θάνατον φαιδρῶς ὡς ἐκ παστοῦ.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Γῆ σε, πλαστουργέ, ὑπὸ κόλπους δεξαμένη, Σῶτερ,
τρόμῳ συσχεθεῖσα τινάσσεται,
ἀφυπνώσασα νεκροὺς τῷ τιναγμῷ.

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Ἤρθη σταυρωθεὶς ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας,
ἄπνους δ᾽ ἐν αὐτῇ οὗτος θάπτεται·
ὃ μὴ φέρουσα ἐσείετο δεινῶς.

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

Ἔδυς τῇ σαρκί, ὁ ἀνέσπερος εἰς γῆν φωσφόρος·
καὶ μὴ φέρων βλέπειν ὁ ἥλιος
ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

Ὕπνωσας μικρὸν καὶ ἐζώωσας τοὺς τεθνεῶτας
καὶ ἐξαναστὰς ἐξανέστησας
τοὺς ὑπνοῦντας ἀπ᾽ αἰῶνος, ἀγαθέ.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Ὥσπερ πελεκάν, τετρωμένος τὴν πλευράν σου, Λόγε,
σοὺς θανόντας παῖδας ἐζώωσας,
ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Ἥλιον τὸ πρὶν Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων
ἔστησεν· αὐτὸν δὲ ἀπέκρυψας,
καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Κόλπων πατρικῶν ἀνεκφοίτητος μείνας, οἰκτίρμον,
καὶ βροτὸς γενέσθαι ηὐδόκησας
καὶ εἰς ᾅδην καταβέβηκας, Χριστέ.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

ᾍδης ὁ δεινὸς συνετρόμαξεν, ὅτε σε εἶδεν,
ἥλιε τῆς δόξης ἀθάνατε,
καὶ ἐδίδου τοὺς δεσμίους ἐν σπουδῇ.

Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ἔκλαιε πικρῶς ἡ πανάμωμος μήτηρ σου, Λόγε,

ὅτε ἐν τῷ τάφῳ ἑώρακε
σὲ τὸν ἄφραστον καὶ ἄναρχον Θεόν.

*Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.*

Νέκρωσιν τὴν σὴν ἡ σὴ πάναγνος, Χριστέ μου, μήτηρ
βλέπουσα, πικρῶς ἀνεβόα σοι·
Μὴ βραδύνῃς, ἡ ζωή, ἐν τοῖς νεκροῖς.

*Ὑπὲρ τοὺς ἐχθρούς σου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.*

Σὲ τὸν τοῦ παντὸς γλυκασμὸν ἡ Μήτηρ καθορῶσα
πόμα ποτιζόμενον τὸ πικρόν,
βρέχει δάκρυσι τὰς ὄψεις γοερῶς.

*Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν.*

Μόνη γυναικῶν χωρὶς πόνων ἔτεκόν σε, τέκνον,
πόνους δὲ νῦν φέρω τῷ πάθει σου
ἀφορήτους, ἔλεγεν ἡ σεμνή.

*Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.*

Τέτρωμαι δεινῶς καὶ σπαράττομαι τὰ σπλάγχνα, Λόγε,
βλέπουσα σφαγήν σου τὴν ἄδικον·
ἡ Παρθένος ἀνεβόα ἐν κλαυθμῷ.

*Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσας τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.*

Ἴδε μαθητήν, ὃν ἠγάπησας καὶ σὴν Μητέρα
καὶ φθογγὴν δός, τέκνον γλυκύτατον,
ἀνεβόα θρηνῳδοῦσα ἡ ἁγνή.

*Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.*

Φεῦ! τοῦ Συμεὼν ἐκτετέλεσται ἡ προφητεία·
ἡ σὴ γὰρ ῥομφαία διέδραμε
τὴν καρδίαν τὴν ἐμήν, Ἐμμανουήλ.

Ὡς γλυκέα τῷ λάρυγγί μȣ τὰ λόγιά σȣ, ὑπὲρ μέλι τῷ ϛόματί μȣ.

Ταῦτα Γαβριήλ μοι ἀπήγγειλεν ὅτε κατέπτη
καὶ ἡ βασιλεία αἰώνιος,
ὅτι ἔϛαι τοῦ Υἱοῦ μȣ Ἰησοῦ.

Ἔκδεξαι τὸν δοῦλον σȣ εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Εἶδε τὸν σεισμὸν ἑκατόνταρχος καὶ τὰ σημεῖα
καὶ Υἱὸν Θεοῦ σε ἐκήρυττε
ϛαυρωθέντα καὶ θανόντα δι᾽ ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καὶ Πνεῦμα,
σκῆπτρα τῶν ἀνάκτων κραταίωσον
καὶ εἰρήνην δὸς ἡμῖν ὡς ἀγαθός.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τέξασα ζωήν, παναμώμητε ἁγνὴ Παρθένε,
παῦσον Ἐκκλησίας τὰ σκάνδαλα
καὶ εἰρήνευσον αὐτὴν ὡς ἀγαθή.

## Καὶ πάλιν· ἀργῶς καὶ μετὰ μέλȣς

### Ἦχος Πα






Γ. Ραιδεϛηνοῦ, *Ἡ Μεγάλη Ἑβδομάς*, Κωνσταντινούπολις 1884, σσ. 313-4

Ὁ διάκονος: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίȣ δεηθῶμεν.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξȣ Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλȣς καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριϛῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ χορός: Σοί, Κύριε.
Ὁ ἱερεύς: Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνȣ δόξης τῶν Χερȣβεὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σȣ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σȣ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.

# Γ′ ΣΤΑΣΙΣ

Ἦχος Γα παλαιὸν




Σ. Καρᾶ, *Μέθοδος τῆς Ἑλληνικῆς Μουσικῆς*, τεῦχος Α′, Ἀθῆναι 1981, σ. 52

Αἱ γενεαὶ νῦν πᾶσαι
ὕμνον τῇ ταφῇ σου
προσφέρουσι, Χριστέ μου.

Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τοῦ ξύλου καθελών σε
ὁ ἀπ᾽ Ἀριμαθαίας
ἐν τάφῳ σε κηδεύει.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Ὁ Ἰωσὴφ κηδεύει
μετὰ τοῦ Νικοδήμου
νεκροπρεπῶς τὸν Κτίστην.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Δεῦρο πᾶσα κτίσις
ὕμνους ἐξοδίους
προσοίσωμεν τῷ Κτίστῃ.

*Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλον σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.*

Υἱὲ Θεοῦ παντάναξ,
Θεέ μου, πλαστουργέ μου,
πῶς πάθος κατεδέξω;

*Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.*

Οὓς ἔθρεψε τὸ μάννα,
ἐκίνησαν τὴν πτέρναν
κατὰ τοῦ εὐεργέτου.

*Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.*

Οὓς ἔθρεψε τὸ μάννα,
δίδουσι τῷ Σωτῆρι
χολὴν ἅμα καὶ ὄξος.

*Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα.*

Πικρὰν χολὴν καὶ ὄξος,
οἰκτίρμον, ἐποτίσθης,
πικρίας λύων γεῦσιν.

*Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.*

Ἰκρίῳ προσεπάγης,
ὁ πάλαι τὸν λαόν σου
νεφέλης στύλῳ σκέπων.

*Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλος σου ἠγάπησεν αὐτό.*

Ὢ τῆς παραφροσύνης
καὶ τῆς χριστοκτονίας
τῆς τῶν προφητοκτόνων!

*Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.*

Ὡς ἄφρων ὑπηρέτης

προδέδωκεν ὁ μύστης
τὴν ἄβυσσον σοφίας.

*Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.*

Τὸν ῥύστην ὁ πωλήσας
αἰχμάλωτος κατέστη,
ὁ δόλιος Ἰούδας.

*Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου.*

Οὐράνιαι δυνάμεις
ἐξέστησαν τῷ φόβῳ
νεκρόν σε καθορῶσαι.

*Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με καὶ ζήσομαι.*

Ὁρῶσα νεκρωθέντα
ἡ σὲ τεκοῦσα, Λόγε,
μητροπρεπῶς ἐθρήνει.

*Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.*

Ἀνέκραζεν ἡ Κόρη
θερμῶς δακρυρροοῦσα,
τὰ σπλάγχνα κεντουμένη.

*Ἐκέκραξά σοι· σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.*

Ὦ γλυκύ μου ἔαρ,
γλυκύτατόν μου τέκνον,
ποῦ ἔδυ σου τὸ κάλλος;

*Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.*

Ὦ φῶς τῶν ὀφθαλμῶν μου,
γλυκύτατόν μου τέκνον,
πῶς τάφῳ νῦν καλύπτῃ;

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

Σὺν τῷ Ἀδὰμ τὴν Εὔαν
ἐλευθερῶσαι, μῆτερ,
μὴ θρήνει, ταῦτα πάσχω.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Δοξάζω σου, Υἱέ μου,
τὴν ἄκραν εὐσπλαγχνίαν,
ἧς χάριν ταῦτα πάσχεις.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἀνάστα, ζωοδότα,
ἡ σὲ τεκοῦσα μήτηρ
δακρυρροοῦσα λέγει.

Ἐγγὺς εἶ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Ἐξαναστῆναι σπεῦσον,
τὴν λύπην λύων, Λόγε,
τῆς σὲ ἁγνῶς τεκούσης.

Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἀνάστηθι, οἰκτίρμον,
ἡμᾶς ἐκ τῶν βαράθρων
ἐξανιστῶν τοῦ ᾅδου.

Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Τοῖς πόθῳ τε καὶ φόβῳ
τὰ πάθη σου τιμῶσι
πταισμάτων δίδου λύσιν.

Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με.

Αἱ μυροφόροι, Σῶτερ,

τῷ τάφῳ προσελθοῦσαι
προσέφερόν σοι μύρα.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Ἔρραναν τὸν τάφον
αἱ μυροφόροι μύρα
λίαν πρωῒ ἐλθοῦσαι.

Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Ἀρώματα καὶ μύρα
μαθήτριαι γυναῖκες
προσφέρουσι τῷ τάφῳ.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Τὸ χαίρετε δ' ἐκεῖναι
ἀκούουσιν εὐθέως
εἰς ἀμοιβὴν τῶν δώρων.

Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Τὰ δάκρυα ὡς μύρα
τῇ σῇ ταφῇ προσφέρειν
ἀξίωσόν με, Σῶτερ.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

Εἰρήνην Ἐκκλησίᾳ,
λαῷ σου σωτηρίαν
δώρησαι σῇ ἐγέρσει.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Καὶ μνήσθητι, Σωτήρ μου,
ἡμῶν τῶν ἀνυμνούντων
τὰ τίμιά σου πάθη.

*Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.*

Καὶ τῶν κεκοιμημένων
μνημόνευσον, Σωτήρ μου,
ἐν δόξῃ ὅταν ἔλθῃς.

*Ἀγαλλιάσσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου ὡς ὁ εὑρίσκων σκῦλα πολλά.*

Ἱλέῳ ὄμματί σου
ἐπίβλεψον τοὺς πάντας
ἐν κρίσει τῇ μελλούσῃ.

*Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.*

Καὶ φρούρει τὴν σὴν ποίμνην
μετὰ τοῦ ποιμενάρχου,
Χριστέ μου πανοικτίρμον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τριάς, μονάς, Θεέ μου,
Πατήρ, Υἱὸς καὶ Πνεῦμα,
ἐλέησον τὸν κόσμον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου
ἀνάστασιν, Παρθένε,
ἀξίωσον σοὺς δούλους.

## Καὶ πάλιν· ἀργῶς καὶ μετὰ μέλους
## Ἦχος Γα




Γ. Ραιδεστηνοῦ, *Ἡ Μεγάλη Ἑβδομάς*, Κωνσταντινούπολις 1884, σ. 314

Ὁ διάκονος: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ χορός: Σοί, Κύριε.
Ὁ ἱερεύς: Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.

## Εὐλογητάρια

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα,
τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα
καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

*Μέλος Πέτρου Πελοποννησίου (+ 1778)*

Ἦχος Πα






Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σȣ.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε;
ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις.
Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.









Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σȣ.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμα σȣ θρηνολογοῦσαι·
ἀλλ᾽ ἐπέςη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε·
Θρήνȣ ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάςασιν δὲ ἀποςόλοις εἴπατε.






Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σȣ.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σȣ, Σῶτερ,
ἐνηχοῦντο ἀγγέλȣ τρανῶς πρὸς αὐτὰς φθεγγομένȣ·
Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέςη τοῦ μνήματος.






Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτȣ Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα,
τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ
σὺν τοῖς Σεραφείμ, κράζοντες τὸ ἅγιος, ἅγιος, ἅγιος εἶ, Κύριε.






Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ζωοδότην τεκοῦσα ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας·
χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες·
ῥεύσαντα ζωῆς ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.






Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (ἐκ τρίτȣ)



Ὁ διάκονος: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός: Κύριε, ἐλέησον.
Ὁ διάκονος: Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ χορός: Σοί, Κύριε.
Ὁ ἱερεύς: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός: Ἀμήν.

## Ἐξαποστειλάριον

Ἅγιος Κύριος, ὁ Θεὸς ἡμῶν. (ἐκ τρίτου)

Οἱ αἶνοι καὶ ἡ λοιπὴ ἀκολουθία τοῦ ὄρθρου.